εἰς γειτόνων ἅπαντα δεῦρ[ο μεταγαγεῖν
τοὺς κανδύτανας, τοὺς ἀόρτ[ας, τὰ πλόκανα
ἅπαντα, τοὺς ῥίσκους ἅπαντ[ας
καὶ μη...ευρησκοντας ἐνθά[δ
αὐτήν τ' ἀπιέναι δεῦρο πρὸς [τὴν μητέρα
κέλευε τὴν ἐμήν, μεθ' ὑμῶ[ν
τοὺς βαρβάρους παῖδας καταλ[
ἐνταῦθα καὶ Θήρωνα τούς τ' ὀ[νηλάτας
καὶ τοὺς ὄνους. ταῦτα λέγ'. ἐγὼ [
ἐντεύξομ' αὐτὸς τἆλλα τῶι τ.[

(Mo.) νῦν οὐδὲ προσβλέψαι σε, Μοσχίω[ν, ἔτι
πρὸς τὴν κόρην δεῖ· Μοσχίων [
λευκὴ σφόδρ', εὐόφθαλμός ἐστ'—οὐδὲ[ν λέγεις·
ἀδελφὸς ὁ γαμῶν· μακάριος κ.[
οἷον γὰρ—οὗτος, ἔτι λέγεις; οναντ[
πρᾶγμ' ἐστ' ἐπαινεῖν χάριν ἐν.[
ἀλλ' οὐκ ἐρῶ γε· μὴ γὰρ οτανοσο̣ν̣[
παροχήσομαι δηλονότι καὶ κ̣[
τρίτος [μετ'] α̣ὐ̣τ̣ῶν, ἄνδρες, οὐ δ̣υ̣[νήσομαι

(uersus iii paene deperditi)

αὐτῆς θ' ἑταίρας ἡ κακ[
ἀλλ' ἔργον ἀρέσαι. νῦ̣[ν] ἐδ̣[

(non constat quot uersus desint ante columnam ex qua manent litterae perpaucae)

φέρουσα κριθῶν τοῖς ὄνοι[ς